H. Sax. C
777

Sächsische Landesbibliothek –
Staats- und Universitätsbibliothek Dresden
http://digital.slub-dresden.de/id367573768/1
gefördert von der
Deutschen Forschungsgemeinschaft

Sächsische Landesbibliothek –
Staats- und Universitätsbibliothek Dresden
http://digital.slub-dresden.de/id367573768/2
gefördert von der
Deutschen Forschungsgemeinschaft

Εἶδος Πινδαρικόν

# Illustriss. principi ac Domino DN. CHRISTIANO SECUNDO,

SACRI ROMANI IMPERII ARCHIMARSCHALLO, DUCI ET Electori Saxoniæ, Landgravio Thuringiæ Marchioni Misniæ, Burggravio Magdeburgensi, &c. Patri patriæ ac Domino suo clementissimo

*Cum ejus Celsitati Homagia facienda essent in Electorali urbe VViteberga XV. Octobris Anno MDCI.*

εὐφημίας loco subjectissimè consecratum

*A*

*M. ERASMO SCHMIDT DELItiano, Græc. L. Prof. VViteb.*

*VViteberga, Excudebat Laurentius Seuberlich.*

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden
http://digital.slub-dresden.de/id367573768/3
gefördert von der Deutschen Forschungsgemeinschaft DFG



1601
o. J.

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden
http://digital.slub-dresden.de/id367573768/4
gefördert von der Deutschen Forschungsgemeinschaft

# ΕΙΔΟΣ ΠΙΝ-
# ΔΑΡΙΚΟΝ

## ΕΥΦΗΜΟΝ.

στροφὴ α, κῶλ. ϛ.

Νῦν τίν᾽ ἡρώων κελαδήσομεν ὕμνοις;
καὶ τίνος γ᾽ ἀνδρῶν θέμεν αἶνον εὖ
ἀρξόμεθα, ζευξάμεν᾽ ἐγ-
κώμιον μέλος; πέλονται μὲν πολέες βασιλήων
ἄξιοι ὕμνων, ἐπαίνου τε ἐσ-
λοῦ. Ἀλλὰ ΧΡΙΣΤΙΑΝΟΝ ἐπαινέμεν ἤ-

ἀντιστροφὴ α, κῶλ. ϛ.

δη κελεύει μοῖσα ὀλυμπιὰς, ὅς γε
σεμνὸν ἄμπνευμ᾽ Ἀλβίδος ἀμφαγαπᾷ,
καὶ πόλιν τὴν Λευκορέων
νῦν ἐσέρχεται, ἑᾶς γαίας πατρικᾶς βασιλεύσων.
Σαξόνων οἴκοι ἔρεισμα κλυτὸν,
εὐωνύμου τε πατρὸς ἄωτος ἐοῦ.

ἐπῳδὸς κῶλ. ι.

ὀρθόπολίς τε, θεμιστεῖον ἀμφέπει σκᾶ-

πλον, πολυμάλῳ ἐν αἴᾳ Σαξονί-
ᾳ, ἀρετᾶν πασᾶν κορυφαῖς ἀποδρέ-
πων. Τὸν ὦ πάντες πολῖται ἀδυε-
πείᾳ ἐξάρχοντες ἀσπάσασθε φω-
νᾷ. Λύκειον ὦ μάλα
Λευκορέων ἐνὶ σεῖο χαῖρε θυμῷ, πατρίας
γὰρ καθ᾽ ὁδόν νιν δῶκεν αἰὼν
εὐθύπομπος, ἔμμεν ἐσλὸν
Ἀθήναις Λευκορείαις

στροφὴ β. κῶλ. ϛ.

κόσμον, ἠδ᾽ ἥρω᾽ ἐσαεὶ πραπίδεσσιν
ἐκ Θεοῦ ἀνθεῦντα σοφαῖς. Κραδίη
χαιρέτω ὔμμιν Θεολό-
γοι, θεοσδότοιο κήρυκες λόγου οὐρανίοιο,
ἔννομον γὰρ τὴν Λατρείαν φυλά-
ξει, ἠδὲ χεῖρ᾽ ὀρέξει εὖ ὀρθὰ διδά-

ἀντιστροφὴ β. κῶλ. ϛ.

σκουσιν. Ἀλλ᾽ ὑμεῖς γε Δικασπόλοι ἄνδρες
χαίρετ᾽ ἐν στήθεσφιν ἀγαλλόμενοι,
ὥστε γὰρ καὶ τοῖς προγόνοις,

σπαρ-

παρθένος Δίκη παρέζει ΧΡΙΣΤΙΑΝΩι ἀγακλειτῷ

ΔΕΥΤΕΡΩι. Ὑμᾶς δὲ κ᾽ ἔνδοξοι Ἰ-

ατροὶ, νόσων ἀκέσματα ἀνδράσι τε

ἐπῳδὸς κῶλ. ι.

ἤδε γυναιξὶ βαρειᾶν νέμοντες, εὖ ἔλ-

πειν πρέπει, ἄξιοι ὑμεῖς μὲν γὰρ ἔ-

στε περὶ πολλῶν. Οὐδ᾽ ἄρα ἔσεται ὑ-

μῖν ἔπειτ᾽ ἄνδρες σοφοὶ ἀελπέειν,

ὑμμέων γὰρ τέχναι ἠδὲ αἱ πολυ-

δαίδαλοι ἰδρεῖαι Ἄρ-

χοντι σοφωτάτῳ εἰσαεὶ ἔσονται πλεῖσται γλυ-

κισται. Ὁμῶς ξύμπαντες οἱ ἄρ-

χεσθε, χαίρετ᾽ ἠδὲ συγχαί-

ρετ᾽ Ἄρχοντ᾽ εὐσεβεστά-

στροφὴ γ. κῶλ. ς.

τῳ, μάλ᾽ ἐνδόξῳ τε δικαιοτάτῳ τε

μουσέων κοσμήτορι. Νῦν δὲ ἐγὼ

λίσσομαί σοι ΧΡΙΣΤΕ θεὸς

ἀμφὶ Σαξόνων ἀώτῳ ΧΡΙΣΤΙΑΝΩι ἐρικυδεῖ.

τὶν γὰρ ἐν πόντῳ κυβερνῶνται εὐ-

γόμφωτοι ὠκέαι τε νέες πολυκλύ-

ἀντιστροφὴ γ. κῶλ. ς.

στῳ· ἀτὰρ χέρσῳ ἐν ἀπείρονι δῆρις,
φύλοπίς τ' αἰνὴ, ἀγοραὶ δέ τε βου-
λαφόροι· καὶ δεξιτερᾷ
καρδίᾳ διοτρεφοῦς τᾶς σᾶς βασιλῆος ἔνεστι,
καὶ βίος δειλῶν βροτῶν ἄθλιος
πάντων· ἀπ' οὐρανοῖο χαρισάμενον

ἐπῳδὸς κῶλ. ι.

ΧΡΙΣΤΙΑΝΩι δόμεν Ἄρχοντι Σαξόνων αἴ-
ας ἐριβώλακος, ὑψοῦ τοῦτον ἐν-
θάδε πατεῖν αἰῶνα ἀπήμονα γα-
λιωόν εἰσαεὶ, ἰδ' εὖ μακροχρόνι-
ον, μάλ' ὄντως οὔνομ' ὅς κε ΧΡΙΣΤΙΑ-
ΝΟΥ ἔχει, πατὴρ πατρί-
δος μάλα ἤπιος, ἠδὲ στήλη ἀρχᾶς Ῥωμαϊ-
κᾶς στιβαρὰ καὶ ἀτραβής· Ἐκ-
κλησίας τροφεὺς Σχολάων
τε. Κρήϊωόν μ' ἐέλδωρ.

ΤΕΛΟΣ.

Θέμα τοῦ οὐρανοῦ

ΕΠῚ ΤΗ͂Ι ΓΕΝΕΣΕΙ ΤΟΥ ΔΙΑΣΗΜΟΤΑ΄ΤΟΥ

κυδίστου καὶ ἐνδοξοτάτου Κυρίου Κυρίου ΧΡΙΣΤΙΑΝΟΥ τοῦ δευτέρου.
Ἄρχοντος τῆς Σαξονίας, καὶ Ἐκλέγοντος, Λανδγραφίου τῆς Θουριγγίας, Μεθοριάρχου τῆς Μυσίας, Πυργογραφίου τῆς Παρθενοπόλεως, καὶ τὰ λοιπά.



Hist. Saxo. C. 44

Hist. Sax. C. 777

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden
http://digital.slub-dresden.de/id367573768/11
gefördert von der Deutschen Forschungsgemeinschaft

SLUB
Sächsische Landesbibliothek –
Staats- und Universitätsbibliothek Dresden
http://digital.slub-dresden.de/id367573768/12
gefördert von der
Deutschen Forschungsgemeinschaft
DFG